Ευρωπαϊκή Ένωση
Ευρωπαϊκό Κοινωνικό Ταμείο
ΕΠΙΧΕΙΡΗΣΙΑΚΟ ΠΡΟΓΡΑΜΜΑ
ΕΚΠΑΙΔΕΥΣΗ ΚΑΙ ΔΙΑ ΒΙΟΥ ΜΑΘΗΣΗ
επένδυση στην κοινωνία της γνώσης
ΥΠΟΥΡΓΕΙΟ ΠΑΙΔΕΙΑΣ ΚΑΙ ΘΡΗΣΚΕΥΜΑΤΩΝ
ΕΙΔΙΚΗ ΥΠΗΡΕΣΙΑ ΔΙΑΧΕΙΡΙΣΗΣ
ΕΣΠΑ 2007-2013
πρόγραμμα για την ανάπτυξη
ΕΥΡΩΠΑΪΚΟ ΚΟΙΝΩΝΙΚΟ ΤΑΜΕΙΟ
Με τη συγχρηματοδότηση της Ελλάδας και της Ευρωπαϊκής Ένωσης

ὁ δὲ βασιλεὺς Κῆτος πρὸς τοὺς παρεστῶτας ἔφη· Σεβαστὲ Στάκε καὶ Θύννα καὶ † Βόσκανε, προκαθήμενε τοῦ βεστιαρίου, † Βαρσαμέχουμνε καὶ ἔπαρχε Τοῦρνα, Ὕσκα καὶ Φιλόμηλα, Ἀθερῖνα καὶ Τρυγόνα, Ῥῖνα καὶ Βάτε, οἳ καὶ τὰς βίβλους κρατεῖτε, κρίνατε πρὸς αὐτοὺς, καθὼς ὁ κύρις Ὀμύδιος ἐφθέγξατο, καὶ ἐξετάσετε τὸ ἀληθές.

οἱ δὲ εἶπον· Ἡμεῖς, ὦ δέσποτα, ἀεὶ τὴν δικαίαν κρίσιν θέλοντες λοιπὸν ἱκετεύομέν σοι τοῦ προστάξαι καὶ ἐλθεῖν τοὺς ἄρχοντας καὶ ἡγεμόνας.

προστάξαντος οὖν τοῦ βασιλέως καὶ εἰσελθόντων τῶν ἀρχόντων παρίσταντο γοῦν οἱ νοτάριοι καὶ οἱ παράμοναι, ὁ Κουβίδις τε καὶ Γαλέα, ἡ Ζαργάνα καὶ ἡ Ἔκγαρις, ἡ Ἔγραυλη καὶ ἡ
Fol.195v Κουτζουρῖνα, ἡ Λακέρτα καὶ ὁ Λύχνος‖ τὸ Σκορπίδιν, ὁ
Ἀντακόσκυλος, τὸ Σαυρίδιν, τὸ Ἀχέλι καὶ ἡ Ὀσμαρίδα.

καὶ προστάξας ὁ βασιλεὺς Κῆτος ἔφεραν τὸν Τζῆρον μετὰ κλοτζάτων καὶ † τυμπανιστριῶν, ἀλλὰ δὴ καὶ τὸν πραίτορα Μαζὸν καὶ Τριχέον τὸν κόμητα καὶ σταθέντες εἰς τὸ μέσον ὅ τε Τριχέος καὶ ὁ Μαζὸς εἶπαν τὸ ἀληθὲς, ὅτι ὁ Τζῆρος παρώξυνεν ἡμᾶς.

εἶπε δὲ πρὸς αὐτοὺς ὁ βασιλεὺς Κῆτος· Ἀληθῶς εἶπεν ὁ Τζῆρος ὁ λειψαξούγγιος, ὅτι ἡ Συναγρίδα <καὶ> ἡ Λαβρακότουρνα, ψευδῶς ἀνήγγειλαν τὴν βασιλείαν σου;

ἔκραξαν καὶ εἶπαν οἱ μάρτυρες, ὅτι μᾶλλον ψευδῶς ἀνήγγειλεν ὁ Τζῆρος τῇ βασιλείᾳ σου.

Karl Krumbacher (επιμ.), *Das griechische Fischbuch*, K. B. Academie der Wissenschaften, Μόναχο 1903.